**ἰωνικὸν ἀπ᾽ ἐλάσσονος πεντάμετρον**

Trich. 394. 19 sqq. εἰσὶ δὲ ἐν τούτῳ τῷ μέτρῳ (*scil.* τῷ ἰωνικῷ ἀπ᾽ ἐλάσσονος) δίμετρά τε καὶ τρίμετρα καὶ τετράμετρα καὶ πεντάμετρα· καὶ τούτων τὰ μὲν βραχυκατάληκτα, τὰ δὲ καταληκτικά τε καὶ ἀκατάληκτα καὶ ὑπερκατάληκτα, ὁμοίως τῷ ἀπὸ μείζονος ἰωνικῷ.

Trich. 396. 12 sqq. καὶ πέρα μὲν τούτων (*scil.* τῶν τετραμέτρων) οὐχ εὕρηταί τις τῶν ἐμῶν ἡμῖν γνωρίμων χρώμενος τοῖς ἀπ᾽ ἐλάσσονος ἰωνικοῖς· εἰ δ᾽ εἰσίν, ὥς τινές φασι, καὶ πεντάμετρα, ἐκ τῶν ῥηθέντων ἂν κἀκεῖνα οὐκ ἀγνοήσαιμεν. [*P.S.*]